# 01 IULIE

# PARACLISUL SF.DOCTORI-MUCENICI COSMA SI DAMIAN DE LA ROMA

## PARACLISIER-GR

www.tezaurliturgic.ro



# ΠΑΡΑΚΛΗΣΙΣ ΑΓΙΩΝ ΑΝΑΡΓΥΡΩΝ ΚΟΣΜΑ ΚΑΙ ΔΑΜΙΑΝΟΥ

Ποίημα
τοῦ ταπεινοῦ Ἐπισκόπου Κυρίλλου, τούπίκλην Κογεράκη,
Μητροπολίτου τῆς Ἁγιωτάτης Μητροπόλεως Ρόδου.

Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον, μεθ᾽ ὅ τὸ Θεὸς Κύριος καὶ τὰ κάτωθι Τροπάρια. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῶν Ἀναργύρων εὐλαβῶς τῇ Εἰκόνι, οἱ χειμαζόμε νοι πικραῖς ἀσθενείαις, ἀπὸ ψυχῆςπροσπέσωμεν, κρα υγάζοντες αὐτοῖς· Ἅγιοι Ἀνάργυροι, ἰατροὶ τῶν νοσούν των, δεῦτεπρυτανεύοντες, τὴν κατ᾽ ἄμφω ὑγείαν, τοῖς τ απεινοῖς ἡμῖν ὡς συμπαθεῖς, Δαμιανὲ καὶ Κοσμᾶπαμ μακάριστοι.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σο υ λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺπροΐστασο πρεσβεύου σα, τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕωςνῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσπ οινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίω νδεινῶν.

Ὁ Ν’ Ψαλμός καὶ ὁ Κανὼν τοῦ Ἁγίων, οὗ ἡ Ἀκροστιχὶς κατ᾽ Ἀλφάβητον, ἄνευ τῶνΘεοτοκίων.

Ὠιδὴ α’. Ἦχος πλ. δ’. Ὑγρὰν διοδεύσας.

Ἁγίων συνόντες ταῖς στρατιαῖς, ὡς δικαιοσύνης, ἐκβλαστήσαντες τοὺς καρπούς, δέξασθε ἡμῶν τὰς ἐκ καρδίας, ἱκετηρίους δεήσεις Ἀνάργυροι.

Βοήθεια γένοιτο θαυμαστή, Κοσμᾶ θεομάκαρ, καὶ θεόφρον Δαμιανέ, ὑμῶν ἡ πρεσβεία ῥυομένη, πάσης ἡμᾶς συμφορᾶς καὶ κακώσεως.

Γαλήνην αἰτεῖσθε παρὰ Θεοῦ, τοῖς προσερχομένοις, τῇ πρεσβείᾳ ὑμῶν πιστῶς, Ἀνάργυροι θεῖοι τοῦ Σωτῆρος, Δαμιανὲ καὶ Κοσμᾶ θεοδόξαστοι.

Θεοτοκίον.

Ὑπέραγνε Μῆτερ τοῦ Ἰησοῦ, τῶν κυριευόντων, τὴν ψυχήν μου ἁμαρτιῶν, ῥῦσαί με καὶ δίδου μοι βαδίζειν, ἐν σωφροσύνῃ τὸν ἅπαντα βίον μου.

Ὠιδὴ γ’. Οὐρανίας ἁψῖδος.

Δωρεὰν τοῖς νοσοῦσιν, ὡς συμπαθεῖς δίδετε, χάριν ἰαμάτων ἐν τάχει, θεῖοι Ἀνάργυροι· διὸ προστρέχω ὑμῶν, τῇ δραστικῇ ἰατρείᾳ· μή μου τὴν ἱκέσιον, φωνὴν παρώσητε.

Εὐσπλαγχνίας πλουτοῦντες, θεοειδὲς χάρισμα, δέξασθε ἡμῶν τὰς δεήσεις, θεῖοι Ἀνάργυροι, καὶ θεραπεύσατε, ἡμᾶς κατ᾽ ἄμφω νοσοῦντας, τῇ βοτάνῃ χρώμενοι, ὑμῶν τῆς χάριτος.

Ζωῆς ἄϋλον ὕδωρ, πᾶσιν ἡμῖν βλύσατε, ταλαιπωρουμένοις ἀθλίως, παθῶν τῷ καύσωνι· πηγὴν γὰρ ἔχετε, Δαμιανὲ θεοφόρε, καὶ Κοσμᾶ μακάριε, θείας χρηστότητος.

Θεοτοκίον.

Ὦ Πανύμνητε Μῆτερ, ἡ τὸν Χριστὸν τέξασα, καὶ τὴν σωτηρίαν τῷ κόσμῳ, ἐξανατείλασα, χάριν μοι βράβευσον, τὴν μητρικήν σου πλουσίως, ἵνα μακαρίζω σε, τὴν Ἀειπάρθενον.

Διάσωσον δυὰς τιμία τῶν Ἀναργύρων, Δαμιανὲ καὶ Κοσμᾶ παμμακάριστοι, ἡμᾶς παντοίων κινδύνων καὶ νοσημάτων.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Χριστοῦ τοῦ Θεοῦ, τὸ λόγιον πληρώσαντες, αὐτῷ εὐκλεῶς, ἐν οὐρανοῖς παρίστασθε, τοῖς ἐν κόσμῳ Ἅγιοι, δωρεὰν τὰς ἰάσεις παρέχοντες· διὸ ἡμᾶς ἐν ὕμνοις οἱ πιστοί, Δαμιανὲ καὶ Κοσμᾶ μακαρίζομεν.

Ὠιδὴ δ'. Εἰσακήκοα Κύριε.

Ἡδονῶν με θλιβόμενον, ἔνδοξοι Ἀνάργυροι ταῖς προσρήξεσι, μὴ παρίδητε ὡς εὔσπλαγχνοι, ἀλλ' ἐπιφανέντες διασώσατε.

Θεῷ πάντοτε πρέσβευε, ἡ τῶν Ἀναργύρων δυὰς ἡ πάντιμος, ἵνα εὕρωμεν τὴν ἄφεσιν, τῶν ἀπειραρίθμων παραπτώσεων.

Ἱλασμός τε παράκλησις, γένοιτο καὶ ἴαμα ἡμῖν Ἅγιοι, παμμακάριστοι Ἀνάργυροι, ἡ ὑμῶν πρεσβεία πρὸς τὸν Κύριον.

Θεοτοκίον.

Ῥῦσαι Ἄχραντε Δέσποινα, ἐκ τῶν ἐπιθέσεων τοῦ ἀλάστορος, τοὺς πιστῶς ἐξαιτουμένους σε, βοηθὸν ἐν βίῳ καὶ ὑπέρμαχον.

Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.

Κύριον Θεόν, ἱκετεύσατε Ἀνάργυροι, ἵνα νόσων χαλεπῶν καὶ συμφορῶν, ἡμᾶς ῥύσηται ὡς μόνος πολυέλεος.

Λύσιν τῶν παθῶν, ἡμῖν Ἅγιοι βραβεύσατε, καὶ κατ᾽ ἄμφω ὑγιαίνοντας ὑμᾶς, τῇ θερμῇ ὑμῶν πρεσβείᾳ ἀναδείξατε.

Μείνατε ἀεί, μεθ᾽ ὑμῶν θεῖοι Ἀνάργυροι, τὴν εἰρήνην καὶ εὐστάθειαν ἡμῖν, ὡς συμπάθειαν πλουτοῦντες πρυτανεύοντες.

Θεοτοκίον.

Δέσποινα Ἁγνή, ἡ σαρκώσασα τὸν Ὕψιστον, τῆς σαρκός μου τὰς ὀδύνας συμπαθῶς, τῇ βοτάνῃ τῆς σῆς χάριτος θεράπευσον.

Ὠιδὴ στ'. Τὴν δέησιν ἐκχεῶ.

Νοσήματα χαλεπὰ διώκετε, καὶ ἰᾶσθε ἀλγεινὰς ἀσθενείας, Δαμιανὲ καὶ Κοσμᾶ θεοφόρε,

θαυματοφόροι Κυρίου Ἀνάργυροι· διὸ ἰάσασθε κἀμέ, ἀσθενοῦντα ψυχῇ τε καὶ σώματι.

Ξενήκουστα ἐνεργεῖτε θαύματα, ὡς θεόθεν εὐκλεῶς δοξασθέντες· διὸ προστρέχομεν πίστει καὶ πόθῳ, ὑμῶν τῇ χάριτι θεῖοι Ἀνάργυροι, παρακαλοῦντες δι᾿ ὑμῶν, ἵνα εὕρωμεν Ἅγιοι ἔλεος.

Ὁλόφωτον κατοικοῦντες θάλαμον, ἐν ὑψίστοις ὢ Ἀνάργυροι θεῖοι, ὡς μιμηταὶ ἀκραιφνεῖς τοῦ δι᾿ οἶκτον, σωματωθέντος ἐκ Κόρης Θεόπαιδος, μὴ παύσητε ὡς εὐμενεῖς, ἐπακούειν ἡμῶν τῶν δεήσεων.

Θεοτοκίον.

Πταισμάτων μου τὸ δεινὸν χειρόγραφον, ῥῆξον Ἄχραντε Παρθένε Μαρία, τῆς συνεχούσης ἀθλίως με λύπης, χαριζομένη τὴν λύσιν ὡς εὔσπλαγχνος, καὶ τὴν ζωήν μου τῶν παθῶν, τῆς ἐφόδου τηροῦσα ἀλώβητον.

Διάσωσον δυὰς τιμία τῶν Ἀναργύρων, Δαμιανὲ καὶ Κοσμᾶ θεοδόξαστοι, ἡμᾶς παντοίων κινδύνων καὶ νοσημάτων.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κάθισμα. Ἦχος β’. Τοῖς τῶν αἱμάτων σου.

Τῶν ἰαμάτων τὴν χάριν πλουτήσαντες, τοῖς ἀσθενοῦσιν ἰάσεις παρέχετε· διὸ θεοφόροι Ἀνάργυροι,

Δαμιανὲ καὶ Κοσμᾶ θεοδόξαστοι, ἡμᾶς οἱ πιστοὶ μακαρίζομεν.

Προκείμενον. Ἦχος δ'. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἀγίοις αὐτοῦ.

Στίχ. Τοῖς Ἀγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ. ι' 1, 5-8).

Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων ὥστε ἐκβάλλειν αὐτὰ καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Τούτους ἀπέστειλεν ὁ Ἰησοῦς παραγγείλας αὐτοῖς λέγων· εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δὲ κηρύσσετε λέγοντες ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

Δόξα. Ταῖς τοῦ Ἀναργύρων...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Ὅλην παρωσάμενοι, τὴν ἐν τῷ κόσμῳ ἀπάτην, τοῦ Χριστοῦ τοῖς ἴχνεσιν, κατηκολουθήσατε, ὡς ἐχέφρονες, καὶ ἀνεδείχθητε, τῆς φιλευσπλαγχίας, ποταμοὶ ὑπερεκβλύζοντες, ἀχρύσως νείμαντες, τοῖς ἐν ἀσθενείας ἰάματα, καὶ πᾶσιν ἐπαρκέσαντες, τοῖς ἐν ἀλγειναῖς περιστάσεσιν. Ὅθεν δοξασθέντες, Ἀνάργυροι ἀξίως καὶ ἡμῖν, Θεοῦ αἰτεῖσθε τὸ ἔλεος, παῤῥησίᾳ πάντοτε.

Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ποταμὸς ἰαμάτων, τοῖς νοσοῦσιν ὑπάρχει, ὑμῶν ὁ θεῖος ναός, ἐν ᾧ συναθροισθέντες, αἰτούμεθα ἐν πίστει, θεοφόροι Ἀνάργυροι, ἀπαλλαγὴν τῶν κακῶν, καὶ λύσιν τῶν πταισμάτων.

Ῥαντισμῷ τῷ ἀΰλῳ, τῆς ὑμῖν δωρηθείσης, παρὰ Θεοῦ δωρεάς, τὴν τάλαινα ψυχήν μου, κακίας ῥυπαρίας, συμπαθῶς ἐκκαθάρετε, Δαμιανὲ καὶ Κοσμᾶ, δυὰς τῶν Ἀναργύρων.

Σωτηρίαν αἰτεῖσθε, καὶ παθῶν θεραπείαν, παρὰ τοῦ μόνου Θεοῦ, ἡμῖν τοῖς ἐκ βεβήλων, χειλέων ἱκεσίας, πρὸς ἡμᾶς ἀναφέροντας, Δαμιανὲ καὶ Κοσμᾶ, ψυχῇ συντετριμμένῃ.

Θεοτοκίον.

Ἐκ πηγῶν σωτηρίου, Θεοτόκε Παρθένε, τὸ μυστικὸν τῆς ζωῆς, ἀνάβλυσόν μοι ὕδωρ, καὶ πρὸς ἀθανασίας, τὴν νομήν με ὁδήγησον, τῆς μητρικῆς σου στοργῆς, Ἁγνὴ τῇ βακτηρίᾳ.

Ὠιδὴ η'. Τὸν Βασιλέα.

Τοὺς τρυχομένους, ἐν ἀσθενείαις ποικίλαις, ἐπισκέψασθε Ἀνάργυροι Κυρίου, βραβεύοντες ῥῶσιν, αὐτοῖς καὶ σωτηρίαν.

Ὕμνοις τιμῶμεν, ὑμᾶς Ἀνάργυροι θεῖοι, ἐκδεχόμενοι ὑμῶν τὴν προστασίαν, ἐν πειρατηρίοις, τοῦ βίου καὶ ἀνάγκαις.

Φῶς κατοικοῦντες, ἐν οὐρανοῖς φῶς αἰτεῖσθε, ταῖς ψυχαῖς τῶν ἐν ναῷ προσερχομένων, ὑμῶν τῷ ἁγίῳ, Ἀνάργυροι ἐκ πόθου.

Θεοτοκίον.

Ἐν ἁμαρτίαις, μεμολυσμένον τὸν νοῦν μου, ἀποκάθαρόν Πανάχραντε Μαρία, ἵνα σε γεραίρω, τὴν Κεχαριτωμένην.

Ὠιδὴ θ'. Κυρίως Θεοτόκον.

Χαρίσματα πλουτοῦντες, τὰ τῶν ἰαμάτων, τὰς ἀμπλακίας ἡμῶν ἰατρεύσατε, καὶ τὴν κατ᾽ ἄμφω ὑγείαν, πᾶσι χαρίσατε.

Ψαλμοῖς ὑμᾶς καὶ ὕμνοις, πόθῳ εὐφημοῦντες, Δαμιανὲ καὶ Κοσμᾶ ἱκετεύομεν· Δεῦτε ἡμᾶς πάσης ζάλης, ἀπολυτρούμενοι.

Ὡς πάντων τῶν νοσούντων, θεῖοι ἰατῆρες, τὰς ἀσθενείας ἡμῶν ἐπισκέψασθε, τῶν εὐλαβῶς προστρεχόντων, ἡμῖν Ἀνάργυροι.

### Θεοτοκίον.

Ὑπέραγνε Μαρία, Κεχαριτωμένη, τῷ σταλαγμῷ τῆς θερμῆς εὐσπλαγχνίας σου, τὴν ταπεινήν μου καρδίαν, δεῦρο δροσίζουσα.

### Τὸ Ἄξιόν ἐστι καὶ τὰ Μεγαλυνάρια.

Χαίρετε Ἀνάργυροι εὐκλεεῖς, Κοσμᾶ θεομάκαρ, καὶ θεόφρον Δαμιανέ, οἱ τῶν ἰαμάτων, θαυματουργοὶ δοτῆρες, καὶ ἀληθῶς θαυμάτων, λαμπτῆρες ἄσβεστοι.

Χαίρετε Ἀνάργυροι εὐκλεῖς, Κοσμᾶ θεοφόρε, καὶ παμμάκαρ Δαμιανέ, οἱ ἀμπλακημάτων, βραβεύοντες τὴν λύσιν, τοῖς πόθῳ προσιοῦσιν, ὑμῶν τῇ χάριτι.

Χάριτος Ἀνάργυροι τὴν πηγήν, ὡς ἀναστομοῦντες, τῇ τοῦ κρείττονος δωρεᾷ, ἐπιχορηγεῖτε, νοσοῦσι τὰς ἰάσεις, καὶ δείκνυσθε προστάται, πιστῶν θερμότατοι.

Ὡς ἀξιωθέντες παρὰ Θεοῦ, δωρεῶν ἐνθέων, ἀναβλύζετε μυστικῶς, τοῖς προσερχομένοις, ὑμῶν ἐν τῷ τεμένει, πηγὰς τῶν ἰαμάτων, θεῖοι Ἀνάργυροι.

Σκότος νοσημάτων ἐκ τῶν πιστῶν, Ἀνάργυροι θεῖοι, διαλύετε θαυμαστῶς, καὶ φωταγωγεῖτε, Χριστοῦ τὴν Ἐκκλησίαν, τῆς χάριτος τὸ φέγγος, ἐξανατέλλοντες.

Πρὸς δικαιοσύνης τὴν μυστικήν, ἀνάβασιν πάντας, κυβερνήσατε ἀσφαλῶς, τοὺς ἐξαιτουμένους, Ἀνάργυροι ἐκ πόθου, ἐνέργειαν τὴν θείαν, ὑμῶν τῆς χάριτος.

Πάντοτε πρεσβεύετε τῷ Χριστῷ, Ἀνάργυροι θεῖοι, ὑπὲρ πάντων τῶν εὐσεβῶς, ἐπιβοωμένων, ὑμῶν τὴν προστασίαν, ἐν βίου ταῖς ἀνάγκαις, καὶ περιστάσεσι.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τρισάγιον, τὰ συνήθη Τροπάρια ἤ τὸ Ἀπολυτίκιον. Ἦχος πλ. δ’.

Ἅγιοι Ἀνάργυροι καὶ θαματουργοί, ἐπισκέψασθε τὰς ἀσθενείας ἡμῶν, δωρεὰν ἐλάβετε, δωρεὰν δότε ἡμῖν.

Εἶτα· Ἐκτενὴς παρὰ τοῦ Ἱερέως καὶ Ἀπόλυσις μεθ’ ἥν ψάλλομεν τὰ κάτωθι τροπάρια. Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε εὐφημήσωμεν πιστῶς, ἐν ἀγαλλιάσει καρδίας, Δαμιανὸν τὸν σοφόν, καὶ Κοσμᾶν τὸν ἔνδοξον, ὡς παρακλήτορας, ἀληθεῖς καὶ ἀκέστορας, τῶν ἐν ἀσθενείαις, καὶ ποικίλοις πάθεσιν, αὐτοῖς κρυαγάζοντες· Δεῦτε τὰς αἰτήσεις πληροῦντες, τῶν ἐν τῷ ναῷ ὑμῶν πίστει, προστρεχόντων Ἅγιοι Ἀνάργυροι.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δι᾽ εὐχῶν τῶν Ἁγίων...

Δίστιχον.

*Κύριλλον λυτρώσασθε Ἀρχιερέα,*
*Ἅγιοι Ἀνάργυροι πάσης ἀνάγκης.*